## Capitolo V

Ὁ Φίλιππος λαγὼν ὁρᾷ ἐν τῷ ἀγρῷ καὶ βοᾷ· «Ἴθι δ', Ἄργε, δίωκε.»




ἄπ-ειμι ↔ πάρ-ειμι

πάππος : πατὴρ τοῦ πατρός / τῆς μητρός



ὁ κύων (ὦ κύον, τὸν κύνα)



### Ο ΛΥΚΟΣ (α)

Ἐν ᾧ δὲ ἄπεισιν ἥ τε Μυρρίνη καὶ ἡ Μέλιττα, ὁ μὲν πάππος πονεῖ ἐν τῷ κήπῳ, ὁ δὲ παῖς καὶ Ἄργος βαδίζουσι πρὸς τὸ αὔλιον· ὁ Ἄργος κύων ἐστὶ μέγας τε καὶ ἰσχῦρός· τήν τε οἰκίᾱν φυλάττει καὶ τὰ πρόβατα. Ἐν ᾧ δὲ βαδίζουσιν ὅ τε παῖς

φυλάττω vigil

καὶ ὁ κύων ἀνὰ τὴν ὁδόν, ὁ Φίλιππος λαγὼν ὁρᾷ ἐν τῷ ἀγρῷ· λύει οὖν τὸν κύνα καί, «ἴθι δή, Ἄργε,» φησίν· «δίωκε.» Ὁ μὲν οὖν Ἄργος ὑλακτεῖ καὶ διώκει τὸν λαγών, ὁ δὲ λαγὼς φεύγει ἀνὰ τὸ ὄρος. Οὕτω δὲ ταχέως τρέχουσιν ὥστε δι᾽ὀλίγου οὐ δυνατόν ἐστιν ὁρᾶν οὔτε τὸν κύνα οὔτε τὸν λαγών.

Ὁ οὖν Φίλιππος σπεύδει μετὰ αὐτοὺς καὶ βοᾷ· «Ἐλθὲ δεῦρο, Ἄργε· ἐπάνελθε, ὦ κύον κατάρᾱτε.» Ἀλλ᾽ἔτι διώκει ὁ κύων. Τρέχει οὖν ὁ Φίλιππος εἰς ἄκρον τὸ ὄρος ἀλλ᾽οὐχ ὁρᾷ τὸν κύνα. Μέγα οὖν βοᾷ καὶ καλεῖ, ἀλλ᾽οὐκ ἀκούει ὁ Ἄργος. Τέλος δὲ ἀθῡμεῖ ὁ παῖς καὶ καταβαίνει τὸ ὄρος.

Ἐπεὶ δὲ προσχωρεῖ τῷ κήπῳ, ὁρᾷ αὐτὸν ὁ πάππος καί, «τί ποιεῖς, ὦ παῖ;» φησίν· «πόθεν ἥκεις καὶ ποῦ ἐστιν ὁ Ἄργος;» Ὁ δὲ Φίλιππος· «Ἀπὸ τοῦ αὐλίου ἥκω, ὦ πάππε· ὁ δὲ Ἄργος ἐστί που ἐν τοῖς




ὁ κύων ὑλακτεῖ· «βαύ, βαύ»










κατα-βαίνω




Ὁ πάππος· «Ποῦ ἐστιν;»
Ὁ Φίλιππος· «Ἔστι που ἐν τοῖς ὄρεσιν» (: «Ἀγνοῶ ποῦ ἐστιν»)

| | | | |
|---|---|---|---|
| φεύγω | fuig | ἀθυμέω | em desanim |
| οὔτε... οὔτε... | ni... ni... | που | de qualque lloc |

ῥᾴθῡμος = ἀργός



ἡ βακτηρίᾱ
(ἡ βακτηρίᾱ = ἡ ῥάβδος)

ἅμα (+ *dat.*)

ὄρεσιν· λαγὼν γὰρ διώκει.» Ὁ δὲ πάππος· «Ἴθι δή, ὦ παῖ· διὰ τί οὐ ζητεῖς αὐτόν; Μὴ οὕτω ῥᾴθῡμος ἴσθι.» Ὁ δὲ Φίλιππος· «Οὐ ῥᾴθῡμός εἰμι, ὦ πάππε, οὐδὲ αἴτιος ἐγώ. Μέγα γὰρ βοῶ καὶ καλῶ, ἀλλ᾽ οὐκ ἀκούει ὁ κύων.» Ὁ δὲ πάππος, «ἐλθὲ δεῦρο, ὦ παῖ,» φησίν. Οὕτω λέγει καὶ τὴν βακτηρίᾱν λαμβάνει καὶ σπεύδει ἅμα τῷ παιδὶ ἀνὰ τὴν ὁδόν.